eul_wid: tqu-ay

*Ψευδο-Γαληνός* · Pseudo-Galen

# On Urine

## *Περὶ Οὔρων*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Ἰατρική* Medicine
**Format:** *Πραγματεία* Treatise

19 574 (t1) ΓΑΛΗΝΩΙ ΠΡΟΣΓΡΑΦΟΜΕΝΟΝ ΒΙΒΛΙΟΝ ΠΕΡΙ ΟΥΡΩΝ. Τῶν οὔρων αἱ διαφοραὶ πολλαὶ μὲν κατὰ μέρος, αἱ δὲ πρῶται δύο, χῦμά τε καὶ παρυφιστάμενον. καλῶ δὲ χῦμα αὐτὸ τὸ οὖρον παρὰ τὸ κεχῦσθαι, παρυφιστάμενον δὲ τὸ ἐν αὐτῷ ἑτεροίως ἐμφαινόμενον. ἀλλὰ τοῦ χύματος πάλιν ἰσάριθμοι τυγχάνουσιν αἱ διαφοραί. δύο γάρ ἐστι τούτου, τὸ μὲν σύστασις, τὸ δὲ χροιά. ἑκάτερον δὲ τούτων εἰς ἕτερα διαιρεῖται. εἰ μὲν οὖν σύστασις εἰς λεπτότητα, παχύτητα καὶ τὸ ἐξ ἀμφοτέρων σύμμετρον. ἀλλὰ τὸ μὲν σύμμετρον ἐπειδὴ κατὰ φύσιν ἐστὶν ἀδιαίρετον ὑπάρχει.

19 575 τὸ δὲ λεπτὸν καὶ παχὺ τέμνεται διχῇ. τὸ μὲν λεπτὸν ἢ οὐρεῖται λεπτὸν καὶ μένει λεπτὸν ἢ οὐρεῖται λεπτὸν καὶ ἀναθολοῦται καὶ παχὺ γίνεται. Τούτων τὸ μὲν πρότερον ἐσχάτην ἀπεψίαν δηλοῖ. οὐ γὰρ ἐνεχείρησεν ὅλως ἡ φύσις ἐπὶ τούτου πρὸς τὴν πέψιν· τὸ δὲ δεύτερον ὅ ἐστιν λεπτὸν, ἀναθολούμενον δὲ, δηλοῖ τὴν φύσιν ἄρχεσθαι πέττειν. τὸ μὲν λεπτὸν οὕτως διαιρεῖται καὶ ταῦτα σημαίνει. Τὸ δὲ παχὺ καὶ αὐτὸ παραπλησίως τῷ λεπτῷ ἢ οὐρεῖται παχὺ καὶ μένει παχύ· καθίσταται δὲ καὶ γίνεται λεπτόν. καὶ δηλοῖ τὸ μὲν πρότερον ἀκμάζειν, τὸ δὲ δεύτερον τὴν τῶν παχέων χυμῶν ζύμωσιν, ἄρχεσθαι δὲ τὴν διάκρισιν. καὶ αὗται μὲν αἱ τοῦ χύματος ἐν συστάσει διαφοραί· ἀλλ’ ἐπειδὴ τούτου ποιούμενοι τὴν διαίρεσιν, ἐλέγομεν οὖν καὶ ἐν χρώματι διαφορᾶς αὐτῶν, φέρε δὴ καὶ ταύτας ἐφεξῆς ἐκθώμεθα. ἔστιν οὖν πρῶτον τὸ λευκόν. εἶτα τὸ ὠχρόν. ἐφεξῆς δὲ τούτων τὸ πυῤῥόν. τέταρτον δὲ τὸ ξανθόν.

19 576 μετὰ δὲ τούτων ἐστὶ τὸ ἐρυθρόν. ὕστατον δὲ τὸ μέλαν. καὶ ἔστιν ἄκρα μὲν δύο τὸ λευκὸν καὶ τὸ μέλαν, τὰ δὲ λοιπὰ τούτων μεταξὺ τέτακται. ἔστιν μὲν οὖν τὸ ὠχρὸν ἐγγὺς τοῦ λευκοῦ, τὸ δὲ πυῤῥὸν τοῦ μὲν λευκοῦ πόῤῥωθεν, τοῦ δὲ ὠχροῦ συνέγγυς. πάλιν δὲ τὸ ἐρυθρὸν συνέγγυς μὲν τοῦ μέλανος, τοῦ δὲ πυῤῥοῦ καὶ ὠχροῦ ποῤῥωτάτω. τὸ δὲ ξανθὸν ἴδιον ἔχει ἐξαίρετον τὸ μίγμα, ὡς εἶναι δύο χρωμάτων τοῦ τε πυῤῥοῦ καὶ τοῦ ἐρυθροῦ, ὅθεν καὶ στίλβον αὐτὸ κέκληκεν ὁ Γαληνὸς ἐν τῷ περὶ κρίσεων. εἰκότως γὰρ καὶ στίλβει. κατάλαμπρον γὰρ ὑπὸ τοῦ πυῤῥοῦ. φαιδρύνεται δὲ ὑπὸ τοῦ ἐρυθροῦ. ἐφεξῆς οὖν ἐστιν ἀλλήλων ἐν χρώματι οὖρα ταῦτα, λευκὸν, ὠχρὸν, πυῤῥὸν, ξανθὸν, ἐρυθρὸν, μέλαν. γίνεται μὲν τὸ ὠχρὸν ὅταν ὀλίγη χολὴ τὸ ὑδατῶδες ἐπιχρώσῃ, τὸ δὲ πυῤῥὸν ὅταν πλείων, τὸ δὲ ἐρυθρὸν ἀπὸ αἵματος, τὸ δὲ μέλαν ἀπὸ ὑπεροπτήσεως καὶ ἑτέρων τινῶν, καθὰ μετ’ ὀλίγον εἰρήσεται. τὸ δὲ λευκὸν ἔσχατον ἀπεψίαν δηλοῖ. αὗται μὲν οὖν εἰσιν αἱ ἁπλαῖ τοῦ ὑποχύματος διαφοραὶ ἔν τε συστάσει καὶ χροιᾷ.

19 577

λοιπὸν δ’ ἂν εἴη καὶ τὰς τούτων συμπλοκὰς εἰπεῖν καὶ θεάσασθαι, ποῖαι μὲν δύνανται συναφθῆναι, τίνες δὲ οὔ. καὶ συμπλεκόμεναι τί σημαίνουσιν. Ἔστω οὖν πρότερον ἐν τῇ συστάσει ἄπεπτον καὶ γινέσθω λεπτὸν καὶ τούτου μένοντος λεπτοῦ ἀμειφθείτω τὸ χρῶμα καὶ ἔστω τελέως λευκὸν, ὡς εἶναι αὐτὸ λεπτὸν καὶ λευκόν. τὸ τοιοῦτον οὖρον πολλὰ σημαίνει. ἢ γὰρ ἀσθένειαν δυνάμεως, καθάπερ καὶ ἐπὶ τῶν γερόντων ἐπιφαινόμενον δηλοῖ, καὶ ἐπὶ τῶν χρονίων δὲ νοσημάτων ὡς ἐπὶ τὸ πλεῖστον φαίνεται λεπτὸν καὶ λευκὸν διὰ τὴν ἀσθένειαν, ὁμοίως καὶ ἐπὶ τούτων τῆς φύσεως. σημαίνει δὲ καὶ ἔμφραξιν, ὡς ἐπὶ τοῖς φρενιτικοῖς ἐπιφαινόμενον ἐνδείκνυται. καὶ ἐπὶ τῶν τεταρταίων πάλιν ἐν ταῖς ἀρχαῖς τοιοῦτον οὐρούμενον ἔμφραξιν σημαίνει. τὸ γὰρ τῶν μελαγχολικῶν τῇ παχύτητι τὰς ὁδοὺς σφῆνον, ὥσπερ διηθισμένον τὸ οὖρον, φαίνεται λεπτὸν καὶ λευκόν. ἕτερον δὲ μέγιστον σημαίνει κακὸν καὶ τὸ τοιοῦτον οὖρον. κἂν γὰρ ἐπὶ διακαεῖ καὶ καυσώδει πυρετῷ ἐπιφανῇ λευκὸν καὶ λεπτὸν, σημαίνει φρενῖτιν.

19 578 εἰ γὰρ ὁ πυρετὸς πλῆθος δηλοῖ χολῆς, οὐκ ἐπιχρώννυται δὲ τὸ οὖρον, εὔδηλον ὡς ὅτι οὐ μένει ἐν τοῖς ἀγγείοις χολὴ, ἀλλ’ ὅτι οἰκείᾳ κουφότητι περὶ τὸν ἐγκέφαλον ἀνέδρασεν. εἰ μὲν οὖν μὴ πάρεστιν ἡ φρενῖτις τοῦ οὔρου τυγχάνοντος λεπτοῦ καὶ λευκοῦ, ἀλλ’ εἴη πυρετὸς καυσώδης, μαντευόμεθα φρενῖτιν. εἰ δὲ τοιοῦτον μὲν εἴη τὸ οὖρον, πάρεστι δὲ ἡ φρενῖτις, προσαγγέλλει θάνατον ὡς ἐπὶ τὸ πολύ. οὐ γὰρ ὑπομένει ἡ δύναμις ἡ ἐγκεφάλου σώζεσθαι κατὰ τῆς χολῆς ἀνιώσης καὶ δακνούσης τῇ δριμύτητι. τοσαῦτα μὲν δηλοῖ τὸ λεπτὸν καὶ λευκὸν οὖρον. Ἔστω πάλιν τῇ συστάσει ἄπεπτον, τουτέστι τὸ λεπτὸν, ἐν δὲ τῷ χρώματι μετρίως πεπεμμένον, ὡς εἶναι αὐτὸ ὠχρόν· τὸ τοιοῦτον ἀσθένειαν δηλοῖ. τῷ μὲν γὰρ χρώματι τῶν οὔρων ἔπεψεν ὡς ἂν ῥᾴδιον ὑπάρχον, οὐκέτι δὲ καὶ τῇ συστάσει διὰ τὸ δυσκολώτερον. Πάλιν δὲ λεπτὸν ἔστω, ἀλλ’ ἀμειβέσθω τῷ χρώματι καὶ ὑπαρχέτω πυῤῥὸν, βέλτιον μὲν τοῦ προτέρου τὸ τοιοῦτον τυγχάνει, ἔστι δὲ ἄπεπτον διὰ τὴν σύστασιν.

19 579 Ἀλλ’ ἔστω λεπτὸν ὡς ὑπόκειται, ἀλλὰ ξανθόν· τοῦτο σημαίνει οὐ μόνον ἀπεψίαν, ἀλλὰ καὶ ὕλης ἔνδειαν δηλοῖ, ὡς νεώτερος ἀσιτήσας. ἐκδιδάσκει δὲ καὶ θερμότητα πολλὴν ἐν τῷ βάθει τίκτειν χολὴν, ὡς ὁ τριταῖος. δηλοῖ καὶ ἀγρυπνίαν καὶ φροντίδα. ἅπαντα ταῦτα ξανθὰ τὰ οὖρα ποιεῖ. Ἔστω δὲ πάλιν ἄπεπτον τῇ συστάσει λεπτὸν, ἀλλ’ ἐρυθρόν. τὸ τοιοῦτον οὐ συνίσταται. εἰ γὰρ τὸ ἐρυθρὸν ἀφ’ αἵματος γίνεται, τὸ δ’ αἷμα πάλιν ἀπὸ πέψεως γίνεται, ἡ δὲ πέψις παχύνει τὴν σύστασιν· εὔδηλον ὅτι τὸ ἐρυθρὸν οὐ συνίσταται μετὰ τοῦ λεπτοῦ. εἰ γὰρ καί ποτε μιγῇ μετὰ τοῦ ἐρυθροῦ χρώματος τὸ λεπτὸν, ἀλλ’ οὐκ ἀπ’ ἀκριβῶς ἐρυθροῦ, ἀλλὰ καὶ ἰχωροειδοῦς. Ἡ δὲ τελευταία ἐστὶ συμπλοκὴ ἡ τοῦ λεπτοῦ καὶ μέλανος, οὐδ’ αὐτὴ δυναμένη συστῆναι. ἔστι γὰρ τὸ μέλαν χρῶμα ἢ διὰ τὸ ἐκκαθαίρεσθαι τὸν μελαγχολικὸν χυμὸν ἢ διὰ ψύξιν ἢ δι’ ὑπερόπτησιν τοῦ αἵματος.

19 580 ἔστι δὲ καὶ τὰ τρία παχέα. Ὅτι δὲ τοῦ μέλανος αἱ τρεῖς εἰρημέναι διαφοραὶ παχυτάτης κέκτηνται συστάσεως ἐντεῦθεν κατάδηλον. ἐπὶ τῇ παρακμῇ γὰρ τοῦ τεταρταίου καὶ τῇ λύσει τῆς μελαγχολίας οὖρα φαίνεται μέλανα γινόμενα. γίνονται δὲ μέλανα διὰ τὸ ἐκκαθαίρεσθαι τὸν μελαγχολικὸν χυμόν. οὗτος δὲ γεώδης τῇ οὐσίᾳ καὶ παχὺς κατὰ σύστασιν. οὐκοῦν καὶ τὰ οὖρα ποιεῖ παχέα. ὁμοίως δὲ καὶ τὰ ἐξ ὑπεροπτήσεως αἵματος μέλανα γινόμενα οὖρα παχέα τυγχάνει. εἰ γὰρ ὄπτησις ἀνικμᾶται τὴν ὑγρότητα τοῦ αἵματος, εὔδηλον ὡς παχύνει τὴν σύστασιν. καὶ φανερὸν ὅτι καὶ τὰ οὖρα παχέα γίνεται. ἢ γὰρ τοῦ χρώματος μεταλαμβάνει καὶ γίνεται μέλανα καὶ τῇ συστάσει ὡς ἀποκαύσει τοῦ αἵματος· καὶ ἡ ψύξις δὲ φανερῶς τῇ πήξει παχύνει τὴν ὕλην καὶ τὴν σύστασιν τοῦ οὔρου, ὁμοίαν ἀπεργάζεται τῇ τοῦ χύματος συστάσει, καὶ πάλιν τὰ οὖρα γίνονται παχέα, ὥσπερ ἐδίδαξα.

19 581 Καὶ περὶ μὲν τὸ πλοκὸν τοῦ λεπτοῦ πρὸς τὰ χρώματα τοῦ οὔρου τὰ προειρημένα ἀρκείτω, νῦν δὲ λοιπὸν τὴν σύστασιν ἀμείψωμεν καὶ ἔστω τὸ οὖρον παχὺ καὶ τούτου μένοντος παχέος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀναλλαττέσθω τὸ χρῶμα καὶ ἔστω λευκόν. τὸ τοιοῦτον δηλοῖ τὸν ὠμὸν χυμὸν πολὺν συνάγεσθαι κατὰ τὸ σῶμα. Ἀλλὰ δὴ ἔστω παχὺ καὶ ὠχρὸν, αὐτὸ οὐ δύναται συνελθεῖν εἰς συμπλοκὴν, οὔτε γὰρ παχὺ καὶ πυῤῥὸν οὔτε παχὺ καὶ ξανθὸν συνελθεῖν δύνανται. τὰ τοιαῦτα γὰρ χρώματα δι’ ἔνδειαν ὕλης γίνεται καὶ δυνάμεως ἀσθένειαν. τὸ δὲ παχὺ διὰ τὰ ἐναντία· φανερὸν ὅτι καὶ πυῤῥὸν ἢ ὠχρὸν ἢ ξανθὸν οὐ δύνανται ἅμα συστῆναι. Ἀλλὰ δὴ ἔστω παχὺ καὶ ἐρυθρὸν, τὸ τοιοῦτον οὖρον συνίσταται καὶ σημαίνει πλῆθος αἵματος, ὡς ἐν συνόχοις πυρετοῖς. Ἔστω δὴ παχὺ καὶ μέλαν λοιπόν.

19 582 καὶ αὐτὴ δὲ συνίσταται καὶ σημαίνει τὸν μελαγχολικὸν χυμὸν ἐκκενοῦσθαι πολὺν, ὡς ἐπὶ τῇ παρακμῇ τοῦ τεταρταίου καὶ ἐπὶ τῇ λύσει τῆς μελαγχολίας. περὶ δὲ τῶν διὰ ψύξιν καὶ ὄπτησιν γινομένων μελάνων ὕστερον ἐροῦμεν· καὶ αὗται μὲν τοῦ παχέος μετὰ τῶν ἐνδεχομένων χρωμάτων αἱ συμπλοκαί. ἀρξόμεθα δὴ περὶ τῶν παρυφισταμένων. Ἔστω δὴ πρότερον λευκὸν καὶ τὴν ἄνω χώραν ἔχον καὶ λεῖον, μηκέτι δὲ ὁμαλὸν, ἀλλὰ σήμερον μὲν πεπεμμένον, αὔριον δὲ οὔ· τὸ τοιοῦτον ἀσθένειαν δηλοῖ καὶ μὴ δύνασθαι διὰ παντὸς ὁμοτίμως πέττειν τὴν ὕλην. Ἀλλὰ δὴ ἔστω λευκὸν μὲν καὶ τὸν κάτω κεκτημένον τόπον, μηκέτι δὲ λεῖον, ἀλλὰ διεσπασμένον. τοῦτο χεῖρον τοῦ προτέρου ὑπάρχον. ἐκεῖνο μὲν γὰρ ἐδείκνυε τὴν φύσιν διὰ πολλῶν τὴν ἀνωμαλίαν ὑπομένειν, τοῦτο δὲ ἐν μιᾷ πέψει ὅπερ ἐστὶ μοχθηρότατον, ὥσπερ καὶ τὸ φθινόπωρον κακὸν, ὅτι ἀνώμαλον. ἀλλ’ ἐὰν μὲν διὰ τεττάρων ἢ πέντε ἡμερῶν γίνοιτο, ἔλαττον τὸ κακόν· ἐὰν δὲ ἐν μιᾷ ἡμέρᾳ, χεῖρον ὑπάρχει.

19 583 τὸν αὐτὸν τρόπον καὶ τὰ διεσπασμένα τῶν πρώτων χείρονα, εἴ γ’ ἐν μιᾷ πέψει διακοπὴν φύσεως δηλοῖ. διακόπτει δὲ τὴν φύσιν πνεῦμα παρεμπεσὸν καὶ διασπᾷ τὴν συνέχειαν τοῦ πεμπομένου χυμοῦ. ἐπεὶ οὖν ὑπεθέμεθα κατὰ φύσιν τὸ παρυφιστάμενον ἔν τε χροιᾷ καὶ ἐν τόπῳ, παρὰ φύσιν δὲ ἐν τῇ συστάσει, δῆλον ὅτι τοῦ ταῦτ’ ἔχοντος οὕτως ἐν τῇ συστάσει ἡ ὁμαλότης ἐστὶν ἢ ἀνωμαλία. Τὸ οὖν πρότερον ὁμαλὸν διεσπασμένον κακόν. πλῆθος γὰρ ἐνδείκνυται πνεύματος παχέος ἐν τῷ βάθει μὴ δυναμένου λεπτυνθῆναι ὑπὸ φύσεως. Ἀλλὰ δὴ ἔστω διεσπασμένον ἀνώμαλον. τουτέστι ποτὲ μὲν φαινόμενον τοιοῦτον, ποτὲ δὲ οὒ, τοιοῦτον τοῦ προτέρου τυγχάνει ἄμεινον. ὀλίγον γὰρ δηλοῖ πνεῦμα καὶ τοῦτο λεπτὸν ἔσεσθαι ταχέως. καὶ θαυμαστὸν ὑπὸ τῆς φύσεως ἀκολουθεῖ τὸ τὴν μὲν ὁμαλότητα εἶναι κακὸν, τὴν ἀνωμαλίαν δὲ ἀγαθόν.

19 584 καὶ μάλιστα δὲ εἰκότως τὸ τοιοῦτον συμβαίνει. τὰ γὰρ κατὰ τὴν αὐτὴν ἔχοντα δύναμιν μοχθηρὰ τυγχάνει. οὕτως οὖν καὶ ὁ διαλείπων σφυγμὸς ἀεὶ μὲν ὁ αὐτὸς φαινόμενος μοχθηρότατός ἐστι, ποτὲ δὲ φαινόμενος τοιοῦτος ἄλλοτε δὲ οὒ, ἔλαττον κακὸν τοῦ προτέρου δηλοῖ. οὕτως οὖν καὶ τὸ διεσπασμένον ἀνώμαλον τοῦ διεσπασμένου μὲν, ὁμαλῶς δὲ φαινομένου μετριώτερόν ἐστι κακόν. καὶ περὶ μὲν ταύτης τῆς συμπλοκῆς ἱκανὰ τὰ προειρημένα. Ἔστω δὲ ἑτέρα ἥδε. τὸ παρυφιστάμενον πεπεμμένον ἔστω τῷ χρώματι καὶ ὑπαρχέτω λευκὸν, μηκέτι δὲ τὴν κάτω χώραν ἐχέτω, ἀλλὰ τὴν μέσην. καὶ τὸ ἔχον τὴν μέσην χώραν ἔστω πρότερον καὶ λεῖον ἐν συστάσει καὶ ὁμαλὸν ἐν χρόνῳ· τὸ τοιοῦτον πέψιν σημαίνει, ἀλλ’ οὐ τελείαν, οὐ γὰρ ὑπόστασίς ἐστιν, ἀλλὰ μέση πέψις ἤτοι σαφῆ δηλοῦσα, τὸ γὰρ ἐν μέσῳ ἐποχούμενον ὑπόστασίς ἐστι τῇ φύσει, τῷ τόπῳ δὲ διαφέρουσα. τὸν δὲ τόπον ἀμείβουσα διὰ πνεύματος περιουσίαν. ἐὰν γὰρ μήτε τελείως ἐν τῇ πέψει λεπτυνθῇ τὸ πνεῦμα, ἀλλὰ τοῦ παρισταμένου ὄντος ἀποκλυσθῇ διὰ παχύτητα, ὠθεῖ τοῦτο καὶ φέρει μετέωρον πρὸς ἄκραν ἐπιφάνειαν καὶ καλεῖται νεφέλη.

19 585 ἢ πρὸς μέσην χώραν καὶ καλεῖται ἐναιώρημα. ἢ οὐδ’ ὅλως ἐστὶ πνεῦμα καὶ τῷ βάθει φαίνεται κάτω καὶ ὀνομάζεται ὑπόστασις. περὶ μὲν ἐναιωρήματος εἴρηται τοσαῦτα. Τὰ γὰρ τοιαῦτα εἰρημένα τῇ θέσει μὲν διαλλάττουσι, τὴν δὲ χροιὰν ἀμείβει ἡ τοῦ πνεύματος παρέμπτωσις. ἀλλὰ τὸ πνεῦμα ἀπὸ τῆς πέψεως γίνεται καὶ εἰ μὲν τελεία πέψις εἴη, καὶ ἡ φύσις τὸ πνεῦμα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λεπτύνει. διὸ καὶ ὑπόστασις τελεία δηλοῖ τὴν πέψιν. εἰ δὲ μὴ δυνηθείη τὸ πνεῦμα λεπτυνθῆναι ἀλλὰ τῇ παχύτητι, καὶ μὴ διαφορούμενον ἐκ τοῦ χυμοῦ, διὸ καὶ ἀκατέργαστον ἔχει τὸν χυμὸν, ὅθεν καὶ οὐ τελείαν πέψιν δηλοῖ, ἀλλ’ ἀσαφῆ καὶ μέσην, διὸ καὶ τὴν μέσην καταλαμβάνει χώραν, οὐ γάρ ἐστι πολὺ, εἰ γὰρ τὴν ἄνω πέψιν κατεῖχε καὶ ἐγίνετο νεφέλη πέψιν μὲν σημαίνει ὅτι ἐγεννήθη. ἀμυδρὰν δὲ ὅτι πολὺ καὶ παχύ ἐστι τὸ τοιοῦτον. [15]

19 586 καὶ δῆλον ὅτι ἐκ τοῦ τόπου οὐδὲν πλέον μανθάνωμεν ἢ μέτρα τῶν δηλουμένων. εἰ μὲν γὰρ μέλαν εἴη τὸ παρυφιστάμενον, κακόν. ἀλλ’ ἐὰν μέντοι εἴη νεφέλη, ἀμυδρὸν τὸ κακόν. ἐὰν δὲ ἐναιώρημα, ἔλαττον κακὸν, ἐὰν δὲ ὑπόστασις εἴη, τέλειον. περὶ μὲν τῆς θέσεως ἱκανὰ τὰ εἰρημένα. δεδήλωται γὰρ οὔτε ἀγαθὸν οὔτε κακὸν, ἀλλὰ μέτρια ἀγαθοῦ τε καὶ κακοῦ. ἀλλ’ ἐπειδὴ τέσσαρα ζητοῦμεν ἐν τῷ παρυφισταμένῳ, χρῶμά τε καὶ τόπον σύστασίν τε καὶ χρόνον, εἴρηται δὲ περὶ τοῦ χρόνου καὶ τῆς συστάσεως καὶ τοῦ τόπου, τὸ λοιπὸν προσθήσωμεν ὅ ἐστι περὶ τοῦ χρώματος, ἀλλ’ ἐπειδὴ λευκὸν ἦν τὸ κατὰ φύσιν, τοῦτο δὴ ἔστω λευκὸν, τὸ δὲ παρὰ φύσιν περὶ ὧν ἔρωμεν μέλαν ἢ πελιδνὸν ἢ ὠχρὸν ἢ ἐρυθρόν. Τὸ μὲν οὖν ἐρυθρὸν ἀπὸ ἰχωροειδοῦς αἵματος γίνεται καὶ ἀπεψίαν σημαίνει, ἀλλ’ οὐ θάνατον, ὅτι μὲν οὖν κίνδυνον οὐκ ἐπάγει τὸ χρηστὸν καὶ οἰκεῖον τῆς ὕλης ἐνδείκνυται. [15]

19 587 εἰ δὲ ἀπεψίαν σημαίνει, καὶ διὰ τοῦτο καὶ χρόνιον. ἐκ τοῦδε φανερὸν τῶν χυμῶν οἱ μὲν ἐκ τοῦ φλέγματος γίνονται ὡς τὸ φλέγμα καὶ ἰχὼρ, οἱ δὲ μετὰ τοῦ αἵματος ὡς ἡ ξανθὴ χολὴ καὶ ὁ μέλας χυμός. ὅταν οὖν τὸ οὖρον ἐρυθρὸν φανῇ, σημαίνει ἀπὸ ἰχῶρος ἔχειν τὸ χρῶμα, ὁ δὲ ἰχώρ ἐστι πρὸ τοῦ αἵματος, οὐ γὰρ ἡ φύσις τελείαν ἐπέθηκε τῷ αἵματι τὴν βαφὴν, εὔδηλον ὡς οὐδέπω ἐπέφθη. εἰς δὲ τοῦτο τοῦ χρόνου χρῄζει ἡ φύσις πρὸς τὴν πέψιν τοῦ αἵματος. τί μὲν οὖν σημαίνει τὸ ἐρυθρὸν οὖρον εἰρήκαμεν. Τὸ δὲ μέλαν ποτὲ μὲν ἐνδείκνυται ψύξιν, ποτὲ δὲ θερμότητα. διωρίσθη δ’ ἂν οὕτως. εἰ μὲν οὖν προηγήσατο πελιδνὸν, εἶθ’ οὕτως ἐγένετο μέλαν, ψύξιν ἔχει τὴν πρόφασιν. εἰ δὲ τὸ χλωρὸν προεγένετο, ἠκολούθησε δὲ τὸ μέλαν, φανερὸν ὅτι ἀπὸ θερμότητος ἐγένετο. καὶ τέτταρα μὲν ἐπὶ τοῦ παρυφισταμένου ἐζητοῦμεν, χρῶμά τε καὶ τόπον καὶ σύστασιν καὶ χρόνον. [15]

19 588 ἁπάντων δὲ τούτων πεποιήμεθα τὴν σύγκρισιν. Τὸ δὲ πελιδνὸν ψύξιν καὶ νέκρωσιν ἐμφαίνει τῆς δυνάμεως. Τῶν ἐλαιωδῶν οὔρων τὰ μέν ἐστιν ἐλαιόχροα, τὰ δὲ ἐλαιοφανῆ, τὰ δὲ ἐλαιώδη. ταῦτα δὲ σημαίνει ἀρχὴν τῆς συντήξεως πιμελῆς ὅλου τοῦ σώματος, ἔστι δὲ καὶ ἐλαιόχρουν αὐτό. τὰ δὲ ἐλαιοφανῆ ἀκριβεστέραν μὲν ἔχει τὴν μίξιν τοῦ ἐλαίου πρὸ τοῦ οὔρου, σημαίνει δὲ τοῦ πάθους ἐπίδοσιν. τὰ δὲ ἐλαιώδη ὅλα δι’ ὅλων τὰ οὖρα καὶ ἐν χρώματι καὶ ἐν συστάσει οἷον ἔλαιόν ἐστι καὶ σημαίνει ταῦτα ἀκμὴν τῆς ἐπιδόσεως. ἀλλ’ ἤδη καὶ τὰ τῶν νεφρῶν πιμελῆς ἀναλυομένης γίνεται, τὰ δὲ ἐλαιώδη διορίσωμεν διά τινων γνωρισμάτων. μέμνηται δὲ καὶ Ἱπποκράτης ἐν ἀφορισμῷ περὶ τῆς τῶν νεφρῶν πιμελῆς ἀναλυομένης ἐν τῷ φάναι. ὁκόσοισι λιπαρὴ ἡ ὑπόστασις καὶ ἀθρόη, τουτέοισι νεφριτικὰ σημαίνει. αὐτὸς δὲ καὶ τοὺς διορισμοὺς ἐχαρίσατο προσθεὶς τὸ ἀθρόη. ἐπὶ μὲν γὰρ τῶν νεφρῶν ταχέως ἐκκρίνεται. [15]

19 589 ἐπὶ δὲ τῆς ἐν ὅλῳ τῷ σώματι πιμελῆς οὐκ ἔτι ταχέως, ἀλλὰ καὶ βραδέως. τὸ γὰρ διαδίδοσθαι αὐτὴν ἀπὸ τῶνδε τῶν φλεβῶν ὑπὸ τὰ συνέγγυς κἀκεῖθεν ὑπὸ τὰ πλησίον καὶ μετὰ χρόνον ὑπὸ τοὺς νεφροὺς καὶ τὴν κύστιν εὔδηλον ὅτι μετὰ πολὺν ἐκκρίνεται χρόνον. ἐπὶ δὲ τῶν νεφρῶν διὰ τὸ συνέγγυς ταῖς διεξόδοις ταχέως ἐκκρίνεται, τὸ γὰρ ἀθρόη παρὰ τῷ Ἱπποκράτει νῦν ἐπὶ τοῦ ταχέως εἴρηται. καὶ περὶ μὲν ἐλαιωδῶν οὔρων ἱκανῶς διώρισται. Ὅταν δ’ ἡ σὰρξ τήκηται, ὀροβοειδεῖς ὑποστάσεις γίνονται, ὁρίζονται δὲ ταῦτα πέψει τε καὶ ἀπεψίᾳ καὶ τὸ παρεῖναι ὀξὺν πυρετὸν, εἰ μὲν γάρ ἐστι πυρετὸς, ὅλου τοῦ σώματός ἐστι τὸ πάθος· εἰ δὲ μὴ, τῶν νεφρῶν. καὶ πάλιν εἰ μέν ἐστιν ἀπεψία τῶν οὔρων τοῦ ὅλου σώματος κακόν. εἰ δὲ πέψις μὲν ᾖ, ὀροβοειδεῖς δὲ ὑποστάσεις, τῶν νεφρῶν δηλοῖ πάθος. εἰκότως δὲ ἀπεψία κρατεῖ, ὅταν ὅλου τοῦ σώματος πάθος ἐστί. τὰ γὰρ ποιοῦντα τὴν πέψιν ἀγγεῖα νενόσηκεν. [15]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

19 590 ἐπὶ δὲ τῶν νεφρῶν οὐκ ἔστιν ἀπεψία. οὐ γὰρ ὁ νεφρὸς πέττει τὸ οὖρον. καὶ περὶ μὲν τῆς πιμελῆς καὶ τῆς σαρκὸς ἱκανὰ τὰ εἰρημένα. Ὅταν δ᾽ ἂν πάθωσι τὰ στερεὰ, πρῶτον μὲν ἐπὶ πολὺ διαζέονται καὶ γίνονται πεταλώδη τὰ οὖρα. ἀλλὰ καὶ τῆς κύστεως τοιαῦτα δηλωτικά. τοῖς δὲ προειρημένοις ἐπὶ τῶν νεφρῶν διορίζεται. εἰ μὲν εἴη πυρετὸς, ὅλον κεκάκωται· εἰ δὲ μὴ ᾖ πυρετὸς, τῆς κύστεως τὸ πάθος. καὶ εἰ μὲν ἀπεψία, τοῦ ὅλου, εἰ δὲ πέψις, τῆς κύστεως. Ὅταν δὲ ὁ πυρετὸς ἐν τῷ βάθει τῶν ἀγγείων καταδῆ, γίνονται πιτυρώδεις αἱ ὑποστάσεις, στενώτεραι μὲν τῶν πεταλωδῶν, ἀλλὰ παχύτεραι. καὶ τὰ τοιαῦτα δὲ πάλιν τῆς κύστεως σημαντικά. ἀλλὰ καὶ τοῖς εἰρημένοις τὸ πάθος διακρίνεται. εἰ μὲν γὰρ παρῇ πυρετὸς, τοῦ ὅλου τὸ πάθος, εἰ δὲ μὴ, τῆς κύστεως. Ἐπειδὰν δὲ ὁ πυρετὸς μετὰ τοῦ καταληφθῆναι τὸ πάθος μεῖζον ἐπιλάβῃ μῆκος καὶ πλάτος, ἁδρομερέστερα δὲ γίνονται τὰ τοιαῦτα τῶν πιτύρων καὶ καλεῖται κριμνώδη.

19 591 ἀλλὰ καὶ τὰ κριμνώδη δύο σημαίνει, εἰ μὲν ὄπτησιν αἵματος ἢ σύντηξιν ἰσχυρὰν τῶν στερεῶν, εἰ δὲ λευκὰ μὲν εἴη τὰ παρυφιστάμενα, τῶν στερεῶν ἐστι πάθος, εἰ δ᾽ ἐρυθρὰ τοῦ αἵματος. Ἧπαρ ἡλκωμένον καὶ αὐτὴν τὴν οὐσίαν ἀναλύεσθαι καὶ τὸ μὲν λεπτομερὲς αὐτῶν τὴν ἰχωρώδη χροιὰν, τὸ δὲ παχυμερὲς τὴν σανδαραχίζουσαν καὶ ὡς ἐπὶ τὸ πολὺ θάνατον μηνύουσαν, εἰ δὲ περισώζοιντο, ὕδρωπα. Τὸ δυσῶδες οὖρον τὴν σῆψιν δηλοῖ καὶ τῆς φύσεως νέκρωσιν. Λείπει δὲ τῷ λόγῳ λοιπὸν θεωρῆσαι τὰς τοῦ χύματος καὶ τοῦ παρυφισταμένου συμπλοκὰς καὶ τί συμαίνουσιν. αἱ γὰρ ἔμπροσθεν συζυγίαι αἱ μὲν πρότερον τοῦ χύματός ἐστι μόνου, αἱ δὲ ἕτεραι παρυφισταμένου. νυνὶ δὲ τὰς τοῦ χύματος καὶ τὰς τοῦ παρυφισταμένου συμπλέξωμεν.

19 592 καὶ τί σημαίνει τούτων ἑκάστη διαφορὰ παραθώμεθα. Ἔστω οὖν πρῶτον ἐν τῇ συστάσει τοῦ χύματος ἄπεπτον, τουτέστι λεπτὸν καὶ ἐν τῇ χροιᾷ λευκόν. ἐπὶ τῷ τοιούτῳ οὔρῳ οὐ δύναται ἐνστῆναι παρυφιστάμενον. ἡ γὰρ λεπτότης ἔνδειαν ὕλης σημαίνει, πῶς ὑπὸ τούτων ἔχομεν ὑποθέσθαι γινομένην ὑπόστασιν; ἀλλ᾽ οὐδ᾽ ἂν ὠχρὸν γένηται ἢ πυῤῥὸν ἢ ξανθὸν, μένον δὲ λεπτὸν ὑφίσταταί τε. ἐπὶ τούτων γὰρ ἡ φύσις ἀποροῦσα ὕλης εἰς χρῶμα μεταβάλλει τὸ οὖρον, ὥστε θέλοντας ἐργάσασθαι συμπλοκὰς ὁμοῦ τε τοῦ χύματος καὶ τοῦ παρυφισταμένου, τὸ λεπτὸν ἐκβάλλωμεν καὶ ὑποθώμεθα τὸ παχύ. Ἔστω δὲ τῇ χροιᾷ λευκὸν, τῇ συστάσει παχύ· ἐπὶ τούτου ὑφίσταται, καὶ τὸ ὑφιστάμενον ἔστω λευκὸν, ἀλλ᾽ οὐ λεῖον. ὁ γὰρ ὠμὸς χυμὸς ἐπὶ τῶν τοιούτων ἀθροίζεται πολὺς, ὡς τῇ μὲν χροιᾷ πέττεται, τῇ δὲ συστάσει ἄπεπτον ὑπάρχει. Ἀλλ᾽ ἔστω πάλιν παχὺ καὶ συναπτέσθω τῷ ἐρυθρῷ.

19 593 τῷ γὰρ ὠχρῷ καὶ πυῤῥῷ καὶ ξανθῷ τὸ παχὺ οὐ μίγνυται διὰ τὰς ἔμπροσθεν εἰρημένας αἰτίας. ἐὰν τοίνυν τῷ ἐρυθρῷ μιγῇ τὸ παχὺ, καθάπερ ἐπὶ τῶν συνόχων, ἔσται σημεῖον ἀπεψίας καὶ ἐν τῷ χύματι καὶ ἐν τῷ παρυφισταμένῳ καὶ κατὰ τὴν σύστασιν καὶ τὴν χροιὰν ἀμφοτέρων, τοῦ τε χύματος καὶ τοῦ παρυφισταμένου. Ἀλλὰ δὴ ἔστω παχὺ μὲν, ἀλλὰ μέλαν. ἐνταῦθα δὲ καὶ αὐτὸ πέπονθεν ἀπεψίαν καὶ ἐν τῷ χρώματι καὶ ἐν τῇ συστάσει τοῦ τε χύματος καὶ τοῦ παρυφισταμένου. καὶ αὗται μὲν αἱ συμπλοκαὶ τοῦ οὔρου μένοντος παχέος. Ἔστω δὲ σύμμετρον ἐν συστάσει, ἀμειβέσθω δὲ τοῖς χρώμασιν. ἀλλὰ λευκὸν τὸ τοιοῦτον οὐ δύναται εἶναι. εἰ γὰρ λευκόν ἐστιν, ἄπεπτον ὑπάρχει. εἰ δὲ τοῦτο φαίνεται καὶ τὸ χρῶμα πέψαι φύσις οὐ δεδύνηται, πῶς τὴν σύστασιν ἐπάχυνε μείζονος καμάτου δεομένου; οὐκοῦν τὸ σύμμετρον μετὰ λευκοῦ συστῆναι οὐ δύναται, σπανίως δὲ μετὰ ὠχροῦ, εἰ μὴ πλείων ᾖ δεδωκὼς καὶ τῇ περιουσίᾳ τῆς ὑγρότητος.

19 594 ἡ χολὴ τὸ μὲν χρῶμα μὴ λάβοι πυῤῥὸν ἢ ξανθὸν, τὴν δὲ σύστασιν σχοίη σύμμετρον. ἀλλ᾽ ὅμως κἂν συστοιχῇ, οὐδὲ ἐπὶ τούτων ὑφίσταται, ὥστε καὶ ταύτην ἐκβάλλομεν τὴν συμπλοκὴν μιγνυμένην μετὰ ὑποστάσεως. Χλωρὰ ἢ πελιδνὰ, μέλανα, αἱματώδη καὶ λίαν παχέα, τὰ πυῤῥὰ, λίαν ἄκραια, τὰ πυῤῥὰ καὶ λεπτὰ καὶ μηδεμίαν ὑπόστασιν ἔχοντα. μοχθηρὰ δὲ τὰ δυσώδη. κακὰ δὲ τὰ λιπαρὰ καὶ ἐλαιώδη καὶ ὑπερβάλλοντα τὸ πλῆθος τοῦ πινομένου. Πελιδναὶ καὶ μέλαιναι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ζοφώδεις, ποικίλαι, διεσπασμέναι, κριμνώδεις, δίαιμοι, πυρετώδεις καὶ χολεραὶ, φλεγματώδεις καὶ δυσώδεις. τὰ δὲ ἀνυπόστατα οὖρα πονηρὰ πάντως. καὶ ταῦτα μὲν τὰ εἴδη τῶν οὔρων σημαίνουσι πλῆθος αἰτιῶν διαφόρων νοσημάτων καὶ αὔξησιν τούτων καὶ μείωσιν, διάκρισίν τε καὶ σύγκρισιν, πέψιν τε καὶ ἀπεψίαν καὶ τρόπους κινδύνων γενησομένων.

19 595 σκοπεῖν δὲ δεῖ τὸν ἰατρὸν ἐπὶ τούτων ἁπάντων τὸ πλῆθος καὶ τὴν δύναμιν τῶν αἰτίων καὶ τὴν ὑπεροχὴν ὑπὲρ τὸ ἀδιαμάρτητον φυλαχθῆναι. Ἐπὶ τῶν πυρεκτικῶν μάλιστα νοσημάτων ἡ ἐκ τῶν οὔρων σημείωσις χρησιμωτάτη καθέστηκεν. ἐπειδὴ δὲ πᾶν τὸ παρὰ φύσιν ἀπὸ τοῦ κατὰ φύσιν εὑρίσκεται, ἀπὸ τῶν κατὰ φύσιν ἀρξώμεθα. οὖρον οὖν ἄριστόν ἐστιν ἐπὶ τῶν ἐν ὑγείᾳ καὶ εὐεξίᾳ τελούντων ἀνθρώπων, ὑπόπυῤῥόν τε καὶ ξανθὸν ἢ ὑπόξανθον καὶ τῷ πάχει σύμμετρον καὶ μένον τοιοῦτον τῇ χροιᾷ οἷον ἀπουρηθῇ. λείαν δὲ καὶ ὁμαλὴν καὶ λευκὴν ἔχον ὑπόστασιν παρὰ πάντα τὸν χρόνον. πλῆθος δὲ πρὸς λόγον τοῦ πινομένου. ἐπὶ δὲ τῶν γυναικῶν τὸ κατὰ φύσιν οὖρον τῇ χροιᾷ λευκότερον τοῦ ἀνδρείου εἶναι χρὴ καὶ ὑπόστασιν ἔχειν πλείονα. ἐπὶ δὲ τῆς παιδικῆς ἡλικίας ἱκανῶς παχεῖαν ἔχειν αὐτὰ ὑπόστασιν χρὴ διὰ τὰς τῶν παίδων ἀδηφαγίας καὶ ἀτάκτους καὶ ἀκαίρους κινήσεις. λείαν δὲ ὑπόστασιν Ἱπποκράτης καλεῖ τὸ συνεχὲς καὶ ἀδιάσπαστον δηλῶσαι βουλόμενος, ὁμαλὸν δέ φησιν εἶναι ὃ δι’ ὅλου ἀεὶ ὅμοιον οὐρεῖται καὶ μὴ σήμερον πεπεμμένον, τῇ δ’ ἑξῆς ἄπεπτον.

19 596 καὶ ὃ μὴ τὴν ὑπόστασιν ἢ τὸ χῦμα ἔχει ὅλον ἀνώμαλον. ζητοῦμεν οὖν ἐπὶ τοῦ κατὰ φύσιν οὔρου χρῶμα καὶ σύστασιν τοῦ σώματος καὶ τὰ παρεμφαινόμενα τῷ χύματι, οἷον νεφέλην, ἐναιώρημα καὶ τὴν ἐν τῷ πυθμένι ὑπόστασιν. εὔδηλον οὖν ὅτι κατά τι τούτων τρεπόμενον τὸ οὖρον ἀπεψίαν τὴν ἐν ταῖς φλεψὶν ἐνδείκνυται. Ἄριστον μὲν οὖν οὖρόν ἐστιν ἐπὶ τῶν νοσούντων τὸ τοῖς ὑγιαίνουσιν ὁμοιότατον ὕπωχρον ἢ ὑπόξανθον, λευκὴν καὶ λείαν καὶ ὁμαλὴν ἔχον ὑπόστασιν. ὑποδεέστερον δὲ τὸ ἔχον ἐναιώρημα λευκὸν καὶ λεῖον καὶ ὁμαλόν. ἕτερον δὲ τούτου ἀπεπτότερον τὸ νεφέλην τοιαύτην ἔχον. ἐφ’ ὧν γὰρ τὸ πνεῦμά ἐστιν ἐν τῷ βάθει παχὺ καὶ ἄπεπτον, εἰ μὲν ὀλίγον εἴη, συγχωρεῖ μὲν τὴν ὕλην ἐπὶ τὸν πυθμένα τοῦ ἀγγείου καταφέρεσθαι. εἰ δέ τι πλεονάσαν τὸ ἄπεπτον ἐν τῷ βάθει πνεῦμα πρὸς τὴν ἄνω ἐπιφάνειαν τοῦ χύματος φέρει τὴν ὑπόστασιν καὶ ποιεῖ τὴν καλουμένην νεφέλην.

19 597 ἐφ’ ὅσον οὖν ἰσχύει τὸ πνεῦμα καὶ μερίζει καὶ μετεωρίζει τὴν ὑπόστασιν, ἐπὶ τοσοῦτον ἀπεπτότερον γίνεται τὸ οὖρον. ἐπὶ δὲ τῶν ἀκριβῶν τριταίων καὶ τῶν ἐφημέρων πυρετῶν ἡ νεφέλη μόνη ἢ ἐναιώρημα πολλάκις ἤρκεσε πρὸς λύσιν τοῦ νοσήματος. ἐνίοτε καὶ τὸ εὔχρουν γίνεσθαι τὸ οὖρον μόνον. Πολλάκις δὲ καὶ τὸ λευκὸν χρῶμα τοῦ παρεμφαινομένου ἐν τῷ χύματι ἀπατᾷ τοὺς ἰδιώτας, ὡς ὑπόστασιν χρηστὴν νομίζεσθαι οὐκ οὖσαν χρηστήν. συμβαίνει γὰρ ὠμὸν καὶ λευκὸν χυμὸν συνεκκρινόμενον τὸ οὖρον ὑφίστασθαι καὶ φαντασίαν ὑποστάσεως χρηστὴν παρέχειν. ἐνίοτε δὲ καὶ ἥπατος ἢ νεφρῶν πεπονθότων πύον ἐκκρίνεται σὺν τῷ οὔρῳ ὑφιστάμενον καὶ ἀπατᾷ τὸν τεχνήτην, ἀλλὰ τοῦτο μὲν πρῶτον διορίζεται προπεπονημένον τὸν ἄνθρωπον τοὺς νεφροὺς ἢ τὸ ἧπαρ ἤ τι ἕτερον μόριον τῶν εἰωθότων ἐκκαθαίρεσθαι διὰ τῶν οὔρων. ἔπειτα δὲ καὶ δυσῶδες εὑρίσκεται τὸ μετέχον πύου. ὁ δὲ ὠμὸς χυμὸς διορίζεται τῆς χρηστῆς ὑποστάσεως τῇ ἀνωμάλῳ συστάσει τοῦ παρυφισταμένου.

19 598 οὐ γὰρ συνεχὲς ἑαυτῷ μένει, ἀλλὰ διορίζεται εἰς μικρὰ οἷον ψαμμία καὶ οὐδ’ ὅλως λεῖόν ἐστι, καθὼς ἡ ἀληθὴς ὑπόστασις. ἐπὶ μὲν τῶν χρηστῶν οὔρων πρῶτα μὲν ἐπιφαίνεται νεφέλη. ἔπειτα ὑποκαταβαίνουσα ποιεῖ τὸ ἐναιώρημα. ἐπὶ τέλει δὲ ὑφιζάνουσα ἐν τῷ πυθμένι τοῦ ἀγγείου ποιεῖ τὴν ὑπόστασιν, δηλονότι ὅταν τελείως πεφθῇ. ἐπὶ δὲ τῶν ὠμῶν χυμῶν εὐθὺς ἐξ ἀρχῆς εἰς τὸν πυθμένα τοῦ ἀγγείου ὑποχωρεῖ πλῆθος πολὺ μετὰ τοῦ εἶναι κάκωχρον καὶ τὸ χῦμα ὅλον. ἔπειτα κατὰ βραχὺ πεττόμενον καὶ λεπτυνόμενον αἰωρεῖται κατὰ τὸ μέσον τοῦ χύματος καὶ ποιεῖ τὸ ἐναιώρημα. ὅταν δ’ ἐπὶ πλεῖστον λεπτυνθῇ καὶ πεφθῇ, ἐφίσταται ἐπὶ πολὺ τοῦ χύματος καὶ ποιεῖ τὴν νεφέλην καὶ πλανᾷ τοὺς ἰδιώτας, ὡς ὑπολαμβάνειν ἐπὶ τὸ χεῖρον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προβαίνειν τὴν νόσον. Τὸ δὲ λεπτὸν καὶ ὠχρὸν οὖρον ἄπεπτον μέν ἐστι τῇ συστάσει, πεπεμμένον δὲ μετρίως τῇ χροιᾷ. ἀσθένειαν δὲ καὶ τοῦτο δηλοῖ τῆς φύσεως, τῷ μὲν χρώματι γὰρ ἔπεψεν ὡς ἂν ῥᾴδιον ὑπάρχον, οὐκέτι δὲ καὶ τῇ συστάσει διὰ τὸ δυσκολώτερον.

19 599 Τὸ δὲ λεπτὸν τῇ συστάσει καὶ πυῤῥὸν τῷ χρώματι βέλτιον τοῦ ὠχροῦ, ὅμως ἄπεπτον διὰ τὴν σύστασιν. Ἀπεψίαν σημαίνει, οὐ θάνατον, ἀλλὰ χρόνου δεῖται εἰς πέψιν. ἔστι δὲ ἐξ αἵματος ἰχωροειδοῦς μή ποτε λείαν πέψιν λαβόντος μηδὲ τὴν ἰδίαν χροιὰν καὶ διὰ τοῦτο χρονιώτερον σημαίνει τὸ νόσημα. ἐπὶ δὲ τῶν συνεχῶν πυρετῶν ἐπὶ πλήθει αἵματος συνιστάμενον ἐκκρίνεται οὖρον ἐρυθρὸν καὶ παχύ. δηλονότι τοιοῦτόν ἐστι καὶ τῷ χρώματι καὶ τῇ συστάσει τοῦ χρώματος καὶ τὸ παρυφιστάμενον ἅπτεται. Τὸ δὲ λεπτὸν οὐρούμενον καὶ μετὰ ταῦτα ἔξω ἀναθολούμενον ἄπεπτόν ἐστι διὰ περιουσίαν αἵματος παχέος. δηλοῖ δὲ τὴν φύσιν ἄρχεσθαι πέπτειν. Τὸ δὲ παχὺ οὐρούμενον καὶ καθιστάμενον οἷον ὑποζυγίου δηλοῖ τὴν τῶν παχέων πνευμάτων τε καὶ χυμῶν ζύμωσιν.

19 600 ἐπὶ τούτων κεφαλαλγίαι πάρεισιν ἢ παρέσονται διὰ τὴν ἐν τοῖς χυμοῖς ταραχὴν καὶ τὰς ἀναθυμιάσεις. Παύεσθαι μὲν τὴν ἐν τοῖς χυμοῖς ζύμωσιν καὶ δηλοῖ πως ἄρχεσθαι τὴν διάκρισιν. Ἐσχάτην ἀπεψίαν. οὐ γὰρ ἐνεχείρησεν ἐπὶ τούτων οὐχ ὡς πρὸς τὴν πέψιν. γίνεται δὲ τοῦτο ἢ δι’ ἀσθένειαν τῆς δυνάμεως ἢ δι’ ἔμφραξιν ἢ διὰ τὸ χρόνιον εἶναι τὸ νόσημα, ἐπὶ γὰρ τῶν τεταρταίων χρονιωτάτων ὄντων ἐν ἀρχαῖς διὰ τὸ πλῆθος καὶ δυσπαθὲς τῆς ὕλης διορθούμενον τὸ οὖρον γίνεται λεπτὸν καὶ δι’ ἔμφραξιν ἥπατος ἢ νεφρῶν, ἀλλὰ διαγινώσκεται ἐκ τῆς τοπικῆς ὀδύνης. οὐρεῖται δ’ ἐνίοτε λεπτὸν καὶ λευκὸν καὶ ἐπὶ τῶν διακαῶν πυρετῶν καὶ σημαίνει φρενῖτιν. καὶ γὰρ ὁ καυσώδης πυρετὸς πλῆθος δηλοῖ χολῆς. οὐ χρώννυται δὲ τὸ οὖρον, εὔδηλον ὅτι οὐ μένει ἐν τοῖς ἀγγείοις ἡ χολὴ, ἀλλὰ τῇ κουφότητι εἰς τὸν ἐγκέφαλον ἀνέδρασεν, εἰ μὲν οὐ πάρεστι φρενῖτις ἐπὶ τούτων γίνωσκε αὐτὴν ἤδη ἔσεσθαι.

19 601 εἰ δὲ καὶ παρούσης φρενίτιδος οὐρεῖται λεπτὸν καὶ λευκὸν ἐπὶ διακαεστάτου πυρετοῦ προσαγγέλλει θάνατον ὡς ἐπὶ πολύ. οὐ γὰρ ὑπομένει ἡ ἐγκεφάλου δύναμις ἤδη προκαταβεβλημένη τῷ διακαεῖ πυρετῷ ἐνέγκαι δριμύτητα καὶ δῆξιν χολῆς ἤδη σεσηπυίας.

Eulogikon public reading copy · View original HTML at eulogikon.org